## Ἔναρξις

Ὁ ἱερεύς· **Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς τὴν Μεγάλην Συναπτήν, ἤτοι τὰ «Εἰρηνικά»·

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

[…]

Ὁ ἱερεύς· **Ὅτι πρέπει Σοι πᾶσα δόξα,** ….

Ὁ χορός· Ἀμήν.

## Ἀντίφωνα

### Α΄ Ἀντίφωνον

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί Σου Ὕψιστε.

**Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.**

Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός Σου, καὶ τὴν ἀλήθειάν Σου κατὰ νύκτα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. γ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν Αὐτῷ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Ὁ ἱερεύς τὴν μικρὰν Συναπτήν, μὲ ἐκφώνησιν· **Ὅτι Σὸν τὸ κράτος, καὶ Σοῦ ἐστιν ἡ βασιλεία,** ….

Ὁ χορός· Ἀμήν.

### Β΄ Ἀντίφωνον

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο[1].

**Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς Σοι, Ἀλληλούϊα.**

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ….

Στίχ. γ΄. Τῷ οἴκῳ Σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ….

Δόξα. Καὶ νῦν.

**Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ** ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ὁ ἱερεύς τὴν μικρὰν Συναπτήν, μὲ ἐκφώνησιν· **Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος** ….

Ὁ χορός· Ἀμήν.

### Γ΄ Ἀντίφωνον

Στίχ. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν[2].

Καὶ ψάλλεται τὸ **Ἀπολυτίκιον** τῆς ἡμέρας[3].

## Εἰσοδικόν, Ἀπολυτίκια, Κοντάκιον

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,

(ὁ β΄ χορός) ψάλλοντάς Σοι· Ἀλληλούϊα.

Καὶ ψάλλεται τὸ **Ἀπολυτίκιον** τῆς ἡμέρας, τοῦ Ἁγίου τοῦ **Ναοῦ**, καὶ τὸ **Κοντάκιον** (τῆς διατάξεως, γιὰ παρ.)

**Προστασία τῶν Χριστιανῶν** ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων Σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων Σε.

## Τρισάγιος Ὕμνος, Ἀπόστολος, Εὐαγγέλιον

Ὁ ἱερεύς· **Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ….**

Οἱ χοροί·

Ἀμήν. **Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς** (γ΄).

Δόξα. Καὶ νῦν.

Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς.

Ὁ ἱερεύς· **Δύναμις.**

Οἱ χοροί·

Ἅγιος ὁ Θεός.

Ἅγιος Ἰσχυρός.

Ἅγιος Ἀθάνατος.

Ἐλέησον ἡμᾶς.

Μετὰ τὸν Τρισάγιον Ὕμνον, ἀναγινώσκονται ὁ **Ἀπόστολος** τῆς ἡμέρας ὑπὸ τοῦ Ἀναγνώστου, καὶ τὸ **Εὐαγγέλιον** τῆς ἡμέρας ὑπὸ τοῦ ἱερέως.

## Χερουβικόν, Πληρωτικά, Πιστεύω

Ὁ ἱερεύς τὴν Ἐκτενῆ δέησιν· […]

Ὁ ἱερεύς· **Ὅπως ὑπὸ τοῦ κράτους Σου, ….**

Οἱ χοροί·

Ἀμήν. **Οἱ τὰ Χερουβεὶμ** μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον Ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

**Ὡς τὸν Βασιλέα** τῶν ὅλων ὑποδεξόμενοι.

Μετὰ τὴν Μεγάλην Εἴσοδον, ὁ β΄ χορὸς συνεχίζει·

---

[1] Οἱ στίχοι σύμφωνα μέ τό Β΄ Ἀντίφωνον τοῦ ΤΜΕ. Τό ΤΜΕ σ.47, ἔχει εἰς τό Β΄ Ἀντίφωνον τὸ «Πρεσβείαις τῶν Ἁγίων Σου…», καὶ τὸ «Σῶσον ἡμᾶς…» εἰς τό Γ΄ Ἀντίφωνον. Τὴν σήμερον ὅμως εἴθισται τό «Σῶσον ἡμᾶς…» εἰς τό Β΄ Ἀντίφωνον, καὶ ὡς Γ΄ Ἀντίφωνον τὸ Ἀπολυτίκιον (βλ. Ἐγκόλπιον Α.Δ. (1996), σ. 94-96).

[2] Ἢ προτάσσεται στίχος κατάλληλος διὰ τὸν Ἅγιον.

[3] Ἤτοι, τοῦ Ἁγίου τοῦ Μηναίου (ἐὰν λέγεται τὸ Ἀπολυτίκιόν του), ἀλλιῶς, τῆς ἡμέρας τῆς ἑβδομάδος.

**Ταῖς Ἀγγελικαῖς** ἀοράτως δορυφορούμενον τάξεσιν· Ἀλληλούια.

Ὁ ἱερεὺς τὴν Δέησιν, ἤτοι τὰ «Πληρωτικά»·

Ὁ ἱερεύς· **Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.**

Ὁ χορός· **Κύριε, ἐλέησον.**

[…]

Ὁ ἱερεύς· Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, …

Ὁ χορός· **Παράσχου, Κύριε.**

[…]

Ὁ ἱερεύς· Ἀγαπήσωμεν ἀλλήλους, …

Ὁ χορός· **Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα**, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεύς· **Τὰς θύρας, τὰς θύρας**· ἐν σοφίᾳ πρόσχωμεν.

### Τὸ Σύμβολον τῆς Πίστεως

**Πιστεύω** εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον[4] καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

## Ἡ Ἁγία Ἀναφορά, Πάτερ ἡμῶν, Θ. Κοινωνία

Ὁ ἱερεύς· **Στῶμεν καλῶς·** στῶμεν μετὰ φόβου· …

Ὁ χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεύς· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, …

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεύς· **Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, …**

Ὁ χορός· **Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ**· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ ἱερεύς· **Λάβετε, φάγετε· …**

Ὁ χορός· **Ἀμήν.**

Ὁ ἱερεύς· **Πίετε ἐξ αὐτοῦ πάντες· …**

Ὁ χορός· **Ἀμήν.**

Ὁ ἱερεύς· **Τὰ Σὰ ἐκ τῶν Σῶν**, Σοὶ προσφέρομεν …

Ὁ χορός· **Σὲ ὑμνοῦμεν**, Σὲ εὐλογοῦμεν, Σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά Σου, ὁ Θεὸς ἡμῶν.

Ὁ ἱερεύς· **Ἐξαιρέτως τῆς Παναγίας**, Ἀχράντου, …

Ὁ χορός· **Ἄξιόν ἐστιν** ὡς ἀληθῶς μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

[…]

Ὁ ἱερεύς· **Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, …**

### Ἡ Κυριακὴ Προσευχὴ

Ὁ χορός· **Πάτερ ἡμῶν**, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά Σου· ἐλθέτω ἡ βασιλεία Σου· γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

[…]

Ὁ ἱερεύς· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· **Εἷς ἅγιος**, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εἶτα ὁ β΄ χορός ψάλλει τὸ **Κοινωνικὸν** τῆς ἡμέρας.

Ὁ ἱερεύς· **Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης …**

(Μετὰ τὴν Θείαν Κοινωνίαν)

Ὁ ἱερεύς· Σῶσον, ὁ Θεός, τὸν λαόν Σου …

Ὁ χορός· **Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν**, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· Αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ὁ ἱερεύς· Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας …

Ὁ χορός· Ἀμήν. ***Πληρωθήτω*** *τὸ στόμα ἡμῶν αἰνέσεώς Σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν Ἁγίων Μυστηρίων Σου· στήριξον ἡμᾶς ἐν τῷ Σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην Σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.*

[…]

Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε ἐλέησον (γ΄). Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς· **Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς Σε, Κύριε, …**

Ὁ χορός· Ἀμήν. **Εἴη τὸ ὄνομα Κυρίου** εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος (γ΄).

[…]

Ὁ ἱερεύς· **Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, …**

Ὁ χορός· **Ἀμήν**. […]. Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

[4] Ἐδῶ κάνουμε τὸν Σταυρόν μας.